# Antisthenés Hérakleitovec

Testimonia DK 66 A

**A 1** = Diogenés Laertios, Vitae philosophorum VI, 19
γεγόνασι δὲ καὶ ἄλλοι Ἀντισθένεις τρεῖς· Ἡρακλείτειος εἷς καὶ ἕτερος Ἐφέσιος καὶ Ῥόδιός τις ἱστορικός (FHG II, 174ff.).

Cfr. Diogenés Laertios, Vitae philosophorum, IX, 15 (= Hérakleitos A 1.15):
πλεῖστοί τέ εἰσιν ὅσοι ἐξήγηνται αὐτοῦ (Ἡρακλείτου) τὸ σύγγραμμα· καὶ γὰρ Ἀντισθένης καὶ Ἡρακλείδης ὁ Ποντικὸς (Wehrli VII, fr. 39) Κλεάνθης τε (ὁ ποντικὸς) καὶ Σφαῖρος ὁ Στωικός, πρὸς δὲ Παυσανίας ὁ κληθεὶς Ἡρακλειτιστής, Νικομήδης τε καὶ Διονύσιος·

**A 2** = Aristotelés, Problemata 23, 30; p. 934b 33
διὸ καί φασί τινες τῶν ἡρακλειτιζόντων ἐκ μὲν τοῦ ποτίμου ξηραινομένου καὶ πηγνυμένου λίθους γίνεσθαι καὶ γῆν, ἐκ δὲ τῆς θαλάττης τὸν ἥλιον ἀναθυμιᾶσθαι.

**A 3** = Platón, Theaetetus 179d
οἱ γὰρ τοῦ Ἡρακλείτου ἑταῖροι χορηγοῦσι τούτου τοῦ λόγου μάλα ἐρρωμένως (sc. αἴσθησιν καὶ ἐπιστήμην ταὐτὸν εἶναι).